cυκῇ· δεῦρο, βαςίλευςον ἐφ᾿ ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ cυκῆ· ἀφεῖςα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα πρὸς τὴν ἄμπελον· δεῦρο, βαςίλευςον ἐφ᾿ ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖςα τὸν οἶνόν μου καὶ τὴν εὐφροςύνην τῶν ἀνθρώπων πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον πάντα τὰ ξύλα τῇ ῥάμνῳ· δεῦρο, cὺ βαςίλευςον ἐφ᾿ ἡμᾶς. καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βαςιλεύειν ἐφ᾿ ὑμᾶς, δεῦτε, ὑποςτῆτε ἐν τῇ cκιᾷ μου, καὶ εἰ μή, ἐξέλθοι πῦρ ἀπ᾿ ἐμοῦ καὶ καταφάγῃ τὰς κέδρους τοῦ Λιβάνου. καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ ὁςιότητι ἐποιήςατε μετὰ τοῦ πατρός μου καὶ μετὰ τοῦ οἴκου αὐτοῦ καὶ ἐβαςιλεύςατε τὸν ᾿Αβιμέλεχ υἱὸν τῆς παιδίςκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σικίμων, εὐφρανθείητε ἐν αὐτῷ, καὶ εὐφρανθείη καί γε αὐτὸς ἐν ὑμῖν· εἰ δὲ μή, ἐξέλθοι πῦρ ἐξ ᾿Αβιμέλεχ καὶ καταφάγοι τοὺς ἄρχοντας ὑμῶν καὶ τοὺς οἴκους αὐτῶν· καὶ ἐξέλθοι πῦρ ἐκ τῶν ἀνδρῶν Σικίμων καὶ καταφάγοι τὸν ᾿Αβιμέλεχ. καὶ ἀπέδρα ᾿Ιωάθαμ ἀπὸ προςώπου ᾿Αβιμέλεχ ἀδελφοῦ αὐτοῦ. ὁ δὲ ᾿Αβιμέλεχ ἦρξεν ἐπὶ τὸν ᾿Ιςραὴλ ἔτη τρία. καὶ ἐξαπέςτειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀνὰ μέςον ᾿Αβιμέλεχ καὶ ἀνὰ μέςον ἀνδρῶν Σικίμων. καὶ ἠθέτηςαν οἱ ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ ᾿Αβιμέλεχ τοῦ ἐπαγαγεῖν ἀδικίαν καὶ τὸ αἷμα τῶν ο′ υἱῶν Γεδεὼν ἐπὶ τὴν κεφαλὴν ᾿Αβιμέλεχ. καὶ γὰρ ἀπελθὼν πολεμῆςαι πύργον καὶ προςεγγίςας τῇ θύρᾳ τοῦ πύργου ἐμπρῆςαι αὐτήν, ἔρριψε γυνὴ κλάςμα μύλου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ςυνέτριψε τὸ κράνιον αὐτοῦ. καὶ ἐπιβοήςας ταχὺ εἶπε πρὸς τὸν αἴροντα αὐτοῦ τὰ cκεύη· cπάςον τὴν ῥομφαίαν cου καὶ θανάτωςόν με, μή ποτε εἴπωςιν· γυνὴ αὐτὸν ἀπέκτεινε. καὶ κεντῆςαν αὐτὸν τὸ παιδάριον ἀνεῖλε. καὶ ἐπέςτρεψεν ὁ θεὸς τὴν πονηρίαν ᾿Αβιμέλεχ, ἣν ἐποίηςε τῷ πατρὶ αὐτοῦ ἀποκτείνας τοὺς ο′ ἀδελφοὺς αὐτοῦ. καὶ πᾶςαν τὴν πονηρίαν ἀνδρῶν Σικίμων ἐπέςτρεψεν ὁ θεὸς εἰς τὴν κεφαλὴν αὐτῶν κατὰ τὸν λόγον καὶ τὴν παροιμίαν ᾿Ιωάθαμ.

46 ῎Αβιννα: ὄνομα πόλεως. Δ

47 ῎Αβιος· ᾿Αντιφῶν τὸν ἄβιον ἐπὶ τοῦ πολὺν τὸν βίον τάττει κεκτημένου. ὥςπερ καὶ ῞Ομηρος τὸ ἄξυλον ἀντὶ τοῦ πολύξυλον. Harp.

48 ᾿Αβιούδ: ὄνομα κύριον. Δ